A Δι. Ὥρα 'στὶν ἤδη καρτερὰν ψυχὴν λαβεῖν,
Καί μοι βαδιστέ' ἐστὶν ὡς Εὐριπίδην.
Παῖ, παῖ. Κη. τίς οὗτος; Δι. ἔνδον ἔστ' Εὐριπίδης;
Κη. Οὐκ ἔνδον, ἔνδον ἐστίν, εἰ γνώμην ἔχεις.
Δι. Πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον; Κη. ὀρθῶς ὦ γέρον.
B Ὁ νοῦς μὲν ἔξω συλλέγων ἐπύλλια,
Οὐκ ἔνδον, αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ
Τρυγῳδίαν. Δικαιοπ. ὦ τρισμακάρι' Εὐριπίδη.
Ὅθ' ὁ δοῦλος οὑτωσὶ σαφῶς ἀπεκρίνατο,
Ἐκκάλεσον αὐτόν. Κη. ἀλλ' ἀδύνατον. Δι. ἀλλ' ὅμως,
Οὐ γὰρ ἂν ἀπέλθοιμ', ἀλλὰ κόψω τὴν θύραν.
C Εὐριπίδη, Εὐριπίδιον.
Ὑπάκουσον, εἴπερ δή ποτ' ἀνθρώπων τινί,
Δικαιόπολις καλεῖ σε, Χολλίδης ἐγώ.

*Di. Nunc tempus est, vti virilem capiam animum:*
*Etenim mihi conueniendus est Euripides.*
*Puer, puer.* CE. *quis hic?* DI. *intus nè est Euripides?*
CE. *Non intus, intus est: si rectè intelligas.*
DI. *Quomodo sit intus, & non intus?* CE. *commodè.*
*Nam animus quidem foris versiculos colligens,*
*Non intus est: ipse intus resupinus facit*
*Trygœdiam.* DI. *ô te ter beatum, Euripides:*
*Quando tam perspicuè respondit famulus hic:*
*Age euoca ipsum.* CE. *at hoc fieri nequit.* DI. *attamen,*
*Quippe haud discessero: sed pulsabo ostium.*
*Euripides, Euripidule.*
*Audi hominem quempiam parumper, quæso te:*
*Dicæopolis te vocat, è Chollide tribu.*

Σχόλια. Καί μοι βαδιστέ' ἐστίν.] μεταβολὴ γέγονεν ὡς ἐπὶ τὴν οἰκίαν Εὐριπίδου. βαδιστέα δὲ ἀντὶ τοῦ βαδιστέον. τὰ δὲ τοιαῦτα σχηματίζουσι καὶ πληθυντικῶς λεγόμενα. καὶ ἐν Πλούτῳ, συνεκποτέα ἐστί σοι καὶ τὴν τρύγα. ἀντὶ τοῦ συνεκποτέον. καὶ Θουκυδίδης. πολεμιστέα τοῖς Ἀθηναίοις εἶναι. Τίς οὗτος.] τοῦ Δικαιοπόλιδος κρούσαντος τὴν D θύραν. Κηφισοφῶν ὑπακούει. Οὐκ ἔνδον.] ἐξομοιοῖ τὸν οἰκέτην τῷ δεσπότῃ. διὰ δὲ τοῦ δοκοῦντος ἐπαίνου διαβάλλει τὸν Εὐριπίδην ὅτι δεινοὺς ἐπιδείκνυσι τοὺς δούλους καὶ ἐν ταῖς τραγῳδίαις. τὸ δὲ εἰ γνώμην ἔχεις. ἀντὶ τοῦ εἰ φρόνιμος εἶ καὶ συνετός. Ὁ νοῦς μὲν ἔξω συλλέγων.] σκώπτει πάλιν τὸν Εὐριπίδην, διὰ τὸ ἐν τοῖς λόγοις εἶναι συλλογιστικόν, καὶ ὃ ἂν λέγῃ τὸ ἐναντίον πάλιν κατασκευάζοντα. οἷον ἡ γλῶσσ' ὀμώμοχ' ἡ δὲ φρὴν ἀνώμοτος· οἷον αὐτὸς μὲν ἔνδον ἐστὶν ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τὰ ἔξω τι καὶ μετεωρίζεται. παρατηρητέον δὲ, ὅτι ὁ E Εὐριπίδης ἐνταῦθα νοεῖται τὸ, αὐτός. ἐπύλλια δὲ ἰαμβεῖα. ἄλλως. Ὁμηρικῶς. ὁ γὰρ ποιητὴς διώρισε τὰς ψυχὰς πρὸς τὰ σώματα εἰπών.

Πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
Ἡρώων, αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν.

Οὕτω καὶ ὁ Ἀριστοφάνης. εἶπε γὰρ, ὁ νοῦς μὲν ἔξω, αὐτὸς δὲ ἔνδον. τὸ δὲ ἀναβάδην, ἐπὶ ὑψηλοῦ τόπου καθήμενος. κακοσχόλως δὲ εἶπε. τρυγῳδίαν δὲ εἶπεν, ἀντὶ τοῦ κωμῳδίαν. διὰ τὸ τοῖς νικῶσι κωμικοῖς τρύγα δίδοσθαι. τουτέστι νέον οἶνον. Ὦ τρισμακάριε.] θαυμάζων τὸν Κηφισοφῶντα ὁ Δικαιόπολις ἐφ' οἷς εἶπε, τοῦτό φησι. καὶ Ὅμηρος. τρισμάκαρες Δαναοί. Ὅθ' ὁ δοῦλος οὑτωσί.] διὰ τοῦ δοκοῦντος ἐπαίνου διαβάλλει τὸν Εὐριπίδην ὅτι δεινοὺς εἰσάγει τοὺς δούλους ἐν ταῖς τραγῳδίαις. Εὐριπίδιον.] ἐρωτικὰς μιμεῖται φωνάς. οἱ γὰρ ἐρῶντες εἰώθασι τοὺς ἐρωμένους ἐρωτικῶς δι' ὑποκοριστικῶν καλεῖν. Χολλίδης ἐγώ.] δῆμος τῆς Αἰγηΐδος φυλῆς. ἢ παίζει διὰ τὸ χωλοὺς εἰσάγειν.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ

### Σκηνὴ τετάρτη.

ΕΥΡΙΠΙΔΗΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΚΗΦΙΣΟΦΩΝ.

F Τρίμετροι ἰαμβικοί.

Ευ. Ἀλλ' οὐ σχολή.
Δικ. Ἀλλ' ἐκκυκλήθητ'. Εὐρ. ἀλλ' ἀδύνατον. Δι. ἀλλ' ὅμως.
Ευ. Ἀλλ' ἐκκυκλήσομαι, καταβαίνειν δ' οὐ σχολή.
Δι. Εὐριπίδη. Ευ. τί λέλακας; Δι. ἀναβάδην ποιεῖς
G Ἐξὸν καταβάδην οὐκ ἐτὸς χωλοὺς ποιεῖς.
Ἀτὰρ τί τὰ ῥάκι' ἐκ τραγῳδίας ἔχεις;
Ἐσθῆτ' ἐλεεινήν, οὐκ ἐτὸς χωλοὺς ποιεῖς;
Ἀλλ' ἀντιβολῶ πρὸς τῶν γονάτων σ' Εὐριπίδη,

## ACTVS II. SCENA IV.

EVRIPIDES, DICÆOPOLIS, CEPHISOPHO.

*Senarij Iambici.*

Ev. *Non ocium est.*
DI. *At huc euoluitor.* Ev. *at fieri haud potest.* DI. *potest.*
Ev. *Age euoluar: sed descendere non ocium est.*
DI. *Euripides.* Ev. *quid latras?* DI. *vtrū né pe-*
*Sursum porrectis, cōminiscere fabulam? (dibus*
*At tibi deorsum demissis idem licet.*
*Non temerè est, quòd claudos fingis homines.*
*Sed quorsum hæc trita vestimenta habes, tua ex*
*Tragœdia: amictum sanè lamentabilem?*
*Non temerè est, quòd claudos fingis homines.*
*Verum oro te, per genua tua, mi Euripides,*